Ἀλλ' ἐπαποδυώμεθ' ἄνθρωποι τουτῳὶ τῷ πράγματι

Ἤδη γὰρ ὄζειν ταδὶ πλειόνων καὶ μειζόνων

Πραγμάτων μοι δοκεῖ.

Καὶ μάλιστ' ὀσφραίνομαι τῆς Ἱππίου τυραννίδος.

Καὶ πάνυ δέδοικα μὴ

Τῶν Λακώνων τινὲς

Δεῦρο συνεληλυθότες

Ἄνδρες ἐν Κλεισθένους

Τὰς θεοῖς ἐχθρὰς γυναῖκας ἐξεπαίρωσιν δόλῳ

Καταλαβεῖν τὰ χρήμαθ' ἡμῶν,

Τόν τε μισθὸν ἔνθεν ἔζων ἐγώ.

Δεινὰ γάρ τοι τάσδε γ' ἤδη τοὺς πολίτας νουθετεῖν,

Καὶ λαλεῖν γυναῖκας οὔσας ἀσπίδος χαλκῆς πέρι.

Καὶ διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσιν Λακωνικοῖς

Οἷσι πιστὸν οὐδὲν εἰ μή περ λύκῳ κεχηνότι.

Ἀλλὰ ταῦτ' ὕφηναν ἡμῖν ἄνδρες ἐπὶ τυραννίδι.

Ἀλλ' ἐμοῦ μὲν οὐ τυραννεύσουσιν. ἐπεὶ φυλάξομαι

Καὶ φορήσω τὸ ξίφος τὸ λοιπὸν ἐν μύρτου κλαδί.

Ἀγοράσω τ' ἐν τοῖς ὅπλοις ἑξῆς Ἀριστογείτονι.

Ὧδέ θ' ἑστήξω παρ' αὐτόν, αὐτὸς γάρ μοι γίνεται

Τοῖσι θεοῖσιν ἐχθρᾶς πατάξαι τῆσδε γραὸς τὴν γνάθον.

Χο. Γυν. Οὐ γὰρ εἰσιόντας οἴκαδ' ἡ τεκοῦσα γνώσεται.

A *Sed nos age incumbamus huic negotio*

*Quod plura præsagire & maxima*

*Iam videtur mala:*

*Maximè hæc olent mihi nunc Hippiæ tyrannidem.*

*Quin metuo prorsus vt*

B *Huc Lacones statim*

*Fortè simul & veniant*

*Clisthenes alteri*

*Qui dolo malo incitent has impiatas fœminas,*

*Rapere quas opes habemus*

*Præmium meiq; victus.*

*Prorsus hæc indigna res est, Iam monent & increpant*

C *Fœminæ ciues, virûmque scuta & æra garriunt,*

*Ac volunt ferire fœdus gente cum Laconica*

*Gente non magis fideli quàm lupi patens gula.*

*Ista sed struxere nobis qui viri tyrannidi*

D *Imminent, sed non ero his obnoxius, cauens magis*

*Posthidhac, ensémque clausum fronde myrtea geram*

*In forúmque armatus ibo, post Aristogitona*

*Propter astans in statu isto, quippe fas erit mihi*

E *Huius inuisissimam Dÿs verberare anus genam.*

*CH. M. Tecta namq; intro petentes non agnouerit parens.*

BISETVS. Οὐκ ἔτ' ἔργον.] ὁ τῶν γερόντων χορὸς τῶν γυναικῶν σφόδρα κατατρέχει, ταύτην τὴν καινὴν πολιτείαν καινῆς τινος τυραννίδος ἀρχὴν ἔσεσθαι ἐκ τούτων ὑπονοῶν. ἐπαποδυώμεθα δέ, ἐπιχειρήσωμεν. Σ. τοῦτο δὲ ἀπὸ μεταφορᾶς τῶν τοὺς ἀθλητὰς παντελῶς ἀποδυομένων, καὶ ἐκδυόντων, ἵνα ῥᾷον τοῖς ἔργοις ἐπιχειρήσωσι, καὶ ταῦτα τελέσωσιν. ἐπαποδύεσθαι οὖν ἑαυτόν τινι πράγματι, ἀντὶ τοῦ, ἑαυτὸν παρασκευάζειν πρός τινος πράγματος ἐπιχείρησιν. Ὀσφραίνομαι.] ὅτι τὸ ὄζει εἶπε, διὰ τοῦτο καὶ τὸ ὀσφραίνομαι νῦν ἐπιφέρει, ὃ δηλοῖ τὸ δι' ὀσμῆς αἰσθάνεσθαί τι. Ἱππίου τυραννίδος.] τεσσάρων ὄντων τῶν Πεισιστρατιδῶν, ὁ Ἱππίας πρεσβύτερος τῶν ἄλλων ἦν, καὶ τυραννίδα ὑπέθετο, ὡς μαρτυρεῖ Θουκυδίδης ἐν τῷ τῆς ξυγγραφῆς ἕκτῳ, οὕτω γράφων, Πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι, οὐχ Ἵππαρχος (ὥσπερ οἱ πολλοὶ οἴονται) ἀλλ' Ἱππίας πρεσβύτατος ὤν, ἔσχε τὴν ἀρχήν. Ἐξεπαίρωσιν.] δολίως προτρέψωσιν, ἢ δολίως πείσωσι. δεινὰ γάρ, ἀντὶ τοῦ δεινόν ἐστι.

CHR. Ἀλλ' ἐπαποδυώμεθ' ἄνθρωποι.] id est, ἐπιχειρήσωμεν, Puto autem meliorem Sudæ lectionem ἀλλ' ἐπαποδυώμεθα τουτῳὶ τῷ πράγματι, vt sit Senarius versus qualis erit sequens si demas F ταδὶ non necessarium. Nam τὸ δοκεῖ refertur ad τὸ πρᾶγμα. Ἄνδρες ἐν Κλεισθένους.] Clisthenes erat γυναικώδης, solebátque ferre κερκίδα vt dixit Sophocles, cuius versus luculentos habes apud Sudam. Is rasa semper apparebat barba vt iunior videretur. Prouerbium hinc est, Clisthene intemperantior, vel Clisthenem video. Itaque quòd ait hic δόλῳ, eò pertinet quia rasi essent vt clisthenes. vide sudam πρὸ γῆς ἀποδημεῖς. Καταλαβεῖν] G Duo hi versus videtur mihi Dimetri Trochaici, etsi primi pes primus, sed illud ἐγὼ quod in fine est alterius, tanquam glossema videtur tollendum.

BISETVS. Καὶ διαλλάττειν] ταῦτα λήπτεον οὕτως. καὶ δεινόν ἐστι ταύτας νουθετεῖν τοὺς πολίτας, καὶ γυναῖ-